# I. ΜΟΣΧΟΥ ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ

*Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·*
*‘ ὅστις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,*
*δραπετίδας ἐμός ἐστιν· ὁ μανύσας γέρας ἑξεῖ.*
*μισθός τοι τὸ φίλημα τὸ Κύπριδος· ἢν δ᾽ ἀγάγῃς νιν,*
*οὐ γυμνὸν τὸ φίλημα, τὺ δ᾽, ὦ ξένε, καὶ πλέον ἑξεῖς.*
*ἔστι δ᾽ ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.*
*χρῶτα μὲν οὐ λευκὸς πυρὶ δ᾽ εἴκελος· ὄμματα δ᾽ αὐτῷ*
*δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·*
*οὐ γὰρ ἶσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά,*
*ὡς δὲ χολὰ νόος ἐστίν· ἀνάμερος, ἠπεροπευτάς,*
*οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδων.*
*εὐπλόκαμον τὸ κάρανον, ἔχει δ᾽ ἰταμὸν τὸ μέτωπον.*
*μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει·*
*βάλλει κεἰς Ἀχέροντα καὶ εἰς Ἀΐδεω βασίλεια.*
*γυμνὸς ὅλος τό γε σῶμα, νόος δέ οἱ εὖ πεπύκασται,*
*καὶ πτερόεις ὡς ὄρνις ἐφίπταται ἄλλον ἐπ᾽ ἄλλῳ,*
*ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.*
*τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξω δὲ βέλεμνον—*
*τυτθὸν μὲν τὸ βέλεμνον, ἐς αἰθέρα δ᾽ ἄχρι φορεῖται—*
*καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ᾽ ἐντί*